ἐς δαῖτα χωρεῖν. ὡς δ᾽ ἐπληρώθη στέγη,
στεφάνοισι κοσμηθέντες εὐόχθου βορᾶς
ψυχὴν ἐπλήρουν. ὡς δ᾽ ἀνεῖσαν ἡδονήν,
. . παρελθὼν πρέσβυς εἰς μέσον πέδον
ἔστη, γέλων δ᾽ ἔθηκε συνδείπνοις πολύν,
πρόθυμα πράσσων· ἔκ τε γὰρ κρωσσῶν ὕδωρ
χεροῖν ἔπεμπε νίπτρα κἀξεθυμία
σμύρνης ἱδρῶτα χρυσέων τ᾽ ἐκπωμάτων
ἦρχ᾽, αὐτὸς αὑτῷ τόνδε προστάξας πόνον.
ἐπεὶ δ᾽ ἐς αὐλοὺς ἧκον ἐς κρατῆρά τε
κοινόν, γέρων ἔλεξ᾽· ἀφαρπάζειν χρεὼν
οἰνηρὰ τεύχη σμικρά, μεγάλα δ᾽ εἰσφέρειν,
ὡς θᾶσσον ἔλθωσ᾽ οἵδ᾽ ἐς ἡδονὰς φρενῶν.
ἦν δὴ φερόντων μόχθος ἀργυρηλάτους
χρυσέας τε φιάλας· ὃ δὲ λαβὼν ἐξαίρετον,
ὡς τῷ νέῳ δὴ δεσπότῃ χάριν φέρων,
ἔδωκε πλῆρες τεῦχος, εἰς οἶνον βαλὼν
ὅ φασι δοῦναι φάρμακον δραστήριον
δέσποιναν, ὡς παῖς ὁ νέος ἐκλίποι φάος·
κοὐδεὶς τάδ᾽ ᾔδειν. ἐν χεροῖν ἔχοντι δὲ
σπονδὰς μετ᾽ ἄλλων παιδὶ τῷ πεφηνότι
βλασφημίαν τις οἰκετῶν ἐφθέγξατο·
ὃ δ᾽, ὡς ἐν ἱερῷ μάντεσίν τ᾽ ἐσθλοῖς τραφείς,
οἰωνὸν ἔθετο κἀκέλευσ᾽ ἄλλον νέον
κρατῆρα πληροῦν· τὰς δὲ πρὶν σπονδὰς θεοῦ
δίδωσι γαίᾳ, πᾶσί τ᾽ ἐκσπένδειν λέγει.
σιγὴ δ᾽ ὑπῆλθεν. ἐκ δ᾽ ἐπίμπλαμεν δρόσου
κρατῆρας ἱεροὺς Βιβλίνου τε πώματος.
κἀν τῷδε μόχθῳ πτηνὸς εἰσπίπτει δόμοις
κῶμος πελειῶν· Λοξίου γὰρ ἐν δόμοις
ἄτρεστα ναίουσ᾽· ὡς δ᾽ ἀπέσπεισαν μέθυ,
εἰς αὐτὸ χείλη πώματος κεχρημέναι

1170. *ἀνεῖσαν*] Musgravius, *ἀνῆσαν* libri. 1177. *ἧκον*] Dobraeus, *ἧκεν* libri. 1178. *κοινόν*] Musgravius, *καινόν* libri. 1179. *τεύχη*] Porsonus, *σκεύη* libri. 1181. *μόχθος*] Brodaeus, *μόχθους* libri. 1187. *ᾔδειν*] Piersonus, *ᾔδει* libri. *χεροῖν*] Canterus, *χερσίν* libri. 1194. *σιγῇ* libri. 1199. *εἰς αὐτό B κεὶς αὐτά C*